σοι, ἔφη, τὸ σῶμα ἱκανὸν εἶναι μισθοῦ [τὰ ἐπιτήδεια]
ἐργάζεσθαι; ¶ Μὰ τὸν Δί', ἔφη, οὐ πολὺν χρόνον.
¶ Καὶ μήν, ἔφη, ὅταν γε πρεσβύτερος γένῃ, δῆλον ὅτι
δαπάνης μὲν δεήσῃ, μισθὸν δὲ οὐδείς σοι θελήσει τῶν
τοῦ σώματος ἔργων διδόναι. ¶ Ἀληθῆ λέγεις, ἔφη.
¶ Οὐκοῦν, ἔφη, κρεῖττόν ἐστιν αὐτόθεν τοῖς τοιούτοις 3
τῶν ἔργων ἐπιτίθεσθαι, ἃ καὶ πρεσβυτέρῳ γενομένῳ
ἐπαρκέσει, καὶ προσελθόντα τῳ τῶν πλείονα χρήμα-
τα κεκτημένων, τῷ δεομένῳ τοῦ συνεπιμελησομένου,
ἔργων τε ἐπιστατοῦντα καὶ συγκομίζοντα καρποὺς καὶ
συμφυλάττοντα τὴν οὐσίαν, ὠφελοῦντα ἀντωφελεῖ-
σθαι. ¶ Χαλεπῶς ἄν, ἔφη, ἐγώ, ὦ Σώκρατες, 4
δουλείαν ὑπομείναιμι. ¶ Καὶ μὴν οἵ γε ἐν ταῖς πόλεσι
προστατεύοντες καὶ τῶν δημοσίων ἐπιμελόμενοι οὐ δου-
λοπρεπέστεροι ἕνεκα τούτου, ἀλλ' ἐλευθεριώτεροι νο-
μίζονται. ¶ Ὅλως μήν, ἔφη, ὦ Σώκρατες, τὸ 5
ὑπαίτιον εἶναί τινι οὐ πάνυ προσίεμαι. ¶ Καὶ μήν, ἔφη,
Εὔθηρε, οὐ πάνυ γε ῥᾴδιόν ἐστιν εὑρεῖν ἔργον, ἐφ' ᾧ
οὐκ ἄν τις αἰτίαν ἔχοι. χαλεπὸν γὰρ οὕτω τι ποιῆ-
σαι, ὥστε μηδὲν ἁμαρτεῖν, χαλεπὸν δὲ καὶ ἀναμαρ-
τήτως τι ποιήσαντας μὴ ἀγνώμονι κριτῇ περιτυχεῖν.
ἐπεί, καὶ οἷς νῦν ἐργάζεσθαι φῄς, θαυμάζω, εἰ ῥᾴ-
διόν ἐστιν ἀνέγκλητον διαγίνεσθαι. Χρὴ οὖν πειρᾶ- 6
σθαι

§. 2. *τὰ ἐπιτήδεια*] Vncis inclusi *τὰ ἐπιτήδεια*, quae vox haud dubie e superioribus huc tracta est, vbi est *τῷ σώματι ἐργαζόμενος τὰ ἐπιτήδεια πορίζεσθαι*. Sed ibi *τὰ ἐπιτήδεια* referuntur ad *πορίζεσθαι*, non ad *ἐργαζόμενος*. *μισθοῦ ἐργ.* autem est, *pro mercede opus facere*, et de hoc sermo h. l., non de genere rerum labore quaerendarum. De hac correctione neminem arbitror dubitaturum. *Ern.*

§. 3. *τῳ*] Sic edidi pro vulgato *τῷ* [Hoc operarum vitium ex vna ed. Casel. venerat in edd. Ern. Z.], quod alienum est. Nec tamen spreuerim Cl. Reiskii *κρίσιν*, qui plane delet, et post scribit, *κεκτημένων τῳ, δεομένῳ* etc. *Ern.*

*του*] In edd. vett. est *ποῦ*, vnde fecit Stephanus *τοῦ*, sed secutus sum ed. Paris. Inter *που* et *του* confusio facta est quoque Cyrop. IV, 5, 39.

§. 5. *ποιήσαντας*] Iunt. *ποιήσοντας*, vitiose. Ernestus pluralem quidem concedit tolerari posse, sed tamen melius et verius putat *ποιήσαντα*. Sed saepe post *τὶς* sequitur pluralis. Cf. ad II, 3, 2, et Cyrop. VII, 4, 5. Vatic. I *ποιήσοντα*, Florent. E *ποιήσαντα* habet.

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden
http://digital.slub-dresden.de/id375455116/167
gefördert von der Deutschen Forschungsgemeinschaft